# Mc. 14, 66 – 72. Pietro rinnega Gesù tre volte

Καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ ἔρχεται μία
τῶν παιδισκῶν τοῦ ἀρχιερέως,
καὶ ἰδοῦσα τὸν Πέτρον
θερμαινόμενον ἐμβλέψασα αὐτῷ λέγει, Καὶ σὺ μετὰ τοῦ
Ναζαρηνοῦ ἦσθα τοῦ Ἰησοῦ.
ὁ δὲ ἠρνήσατο λέγων,
Οὔτε οἶδα οὔτε ἐπίσταμαι σὺ τί λέγεις. καὶ ἐξῆλθεν ἔξω
εἰς τὸ προαύλιον[· καὶ ἀλέκτωρ ἐφώνησεν].
καὶ ἡ
παιδίσκη ἰδοῦσα αὐτὸν ἤρξατο πάλιν λέγειν τοῖς παρεστῶσιν ὅτι Οὗτος ἐξ αὐτῶν ἐστιν.
ὁ δὲ πάλιν ἠρνεῖτο.
καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ,
Ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ γὰρ Γαλιλαῖος εἶ.
ὁ δὲ
ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι ὅτι Οὐκ οἶδα τὸν
ἄνθρωπον τοῦτον ὃν λέγετε.
καὶ εὐθὺς ἐκ δευτέρου
ἀλέκτωρ ἐφώνησεν. καὶ ἀνεμνήσθη ὁ Πέτρος τὸ ῥῆμα ὡς
εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι δὶς
τρίς με ἀπαρνήσῃ· καὶ ἐπιβαλὼν ἔκλαιεν.